AGE Unit 8 (nouns concluded) Part 1 (3rd declension nouns completed)
BIBLICAL reading

LXX 4 Kings 24.8-25.6 Note: some verbs in the original passage in past tenses have been converted to present tense for this reading.

From the history of Jerusalem, the kings Jehoiachin and Zekediah and the loss of the city to Nebuchadnezzar, king of Babylon:

8. υἱὸς ὀκτωκαίδεκα ἐτῶν Ιωακιμ ἐν τῷ βασιλεύειν αὐτὸν καὶ τρίμηνον
βασίλευει ἐν Ιερουσαλημ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Νεσθα θυγάτηρ
Ελλαναθαν ἐξ Ιερουσαλημ. 10. ...ἀναβαίνει Ναβουχοδονοσορ βασιλεὺς
Βαβυλῶνος εἰς Ιερουσαλημ, καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ. 11. καὶ
εἰσῆλθεν Ναβουχοδονοσορ βασιλεὺς Βαβυλῶνος εἰς τὴν πόλιν, καὶ οἱ
παῖδες αὐτοῦ πολιορκοῦσιν ἐπ' αὐτήν. 12. καὶ ἐξῆλθεν Ιωακιμ βασιλεὺς
Ιουδα ἐπὶ βασιλέα Βαβυλῶνος, αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ καὶ ἡ μήτηρ
αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ καὶ οἱ εὐνοῦχοι αὐτοῦ, καὶ λαμβάνει αὐτὸν
βασιλεὺς Βαβυλῶνος ἐν ἔτει ὀγδόῳ τῆς βασιλείας αὐτοῦ. ... 15. καὶ
ἀποικεῖ τὸν Ιωακιμ εἰς Βαβυλῶνα καὶ τὴν μητέρα τοῦ βασιλέως καὶ τὰς
γυναῖκας τοῦ βασιλέως καὶ τοὺς εὐνούχους αὐτοῦ·... ἐξ Ιερουσαλημ εἰς
Βαβυλῶνα 16. καὶ πάντας τοὺς ἄνδρας τῆς δυνάμεως ... ἄγει αὐτοὺς
βασιλεὺς Βαβυλῶνος μετοικεσίαν εἰς Βαβυλῶνα. 17. καὶ βασίλευει
βασιλεὺς Βαβυλῶνος τὸν Μαθθανιαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ καὶ
ἐπιτίθησι τὸ ὄνομα αὐτοῦ Σεδεκια.
18. υἱὸς εἴκοσι καὶ ἑνὸς ἐνιαυτοῦ Σεδεκιας ἐν τῷ βασιλεύειν αὐτὸν καὶ
ἕνδεκα ἔτη βασίλευει ἐν Ιερουσαλημ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Αμιταλ
θυγάτηρ Ιερεμιου... *Zekediah rebels against King Nebuchadnezzar.*
**25**. 1. καὶ ... ἦλθεν Ναβουχοδονοσορ βασιλεὺς Βαβυλῶνος καὶ πᾶσα ἡ
δύναμις αὐτοῦ ἐπὶ Ιερουσαλημ καὶ παρεμβάλλει ἐπ' αὐτὴν καὶ
οἰκοδομεῖ ἐπ' αὐτὴν περίτειχος κύκλῳ. 2. καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ
ἕως τοῦ ἑνδεκάτου ἔτους τοῦ βασιλέως Σεδεκιου· … 4. καὶ ἐρράγη ἡ
πόλις, καὶ πάντες οἱ ἄνδρες τοῦ πολέμου ἐξῆλθον νυκτὸς ὁδὸν πύλης
τῆς ἀνὰ μέσον τῶν τειχέων, … 5. καὶ διώκει ἡ δύναμις τῶν Χαλδαίων
ὀπίσω τοῦ βασιλέως καὶ καταλαμβάνει αὐτὸν... 6. καὶ συλλαμβάνει τὸν
βασιλέα καὶ ἄγει αὐτὸν πρὸς τὸν βασιλέα Βαβυλῶνος …, καὶ λαλεῖ μετ'
αὐτοῦ κρίσιν...

**VOCABULARY**

**ἀναβαίνω** advance
**ἀνὰ μέσον** between
**ἀποικέω** settle, immigrate
**βασιλείας** (gen sg) ἡ rule, kingship
**βασιλεύω** be king, make king
**δύναμις -εως ἡ** army
**εἴκοσι** twenty
**εἰσῆλθεν** (3rd sg) entered
**ἕνδεκα** eleven
**ἑνδεκάτου** (gen sg) ὁ/τό eleventh
**ἐνιαυτοῦ** (gen sg) ὁ year
**ἑνός** (gen sg) ὁ one
**ἐξῆλθεν** (3rd sg) **ἐξῆλθον** (3rd pl) exited
**ἐπιτίθημι** put on, appoint
**ἐρράγη** (3rd sg) was broken into
**εὐνοῦχοι** (nom pl) **εὐνούχους** (acc pl) ὁ eunuchs
**ἕως** until
**ἦλθεν** (3rd sg) came
**καταλαμβάνω** capture
**κρίσις –εως ἡ** judgment
**κύκλῳ** in a circle
**μετοικεσίαν** (acc sg) ἡ resettled
**ὀγδόῳ** eighth
**ὁδὸν** (acc sg) ἡ road
**οικοδομέω** build
**ὀκτωκαίδεκα** eighteen
**ὀπίσω** behind, after
**πάντες** (nom pl) **πάντας** (acc pl) ὁ all
**παρεμβάλλω** set up camp at
**πᾶσα** (nom sg) ἡ all
**περιοχῇ** (dat sg) ἡ section, domain
**περίτειχος –ους τό** siege works
**πολέμου** (gen sg) ὁ war
**πολιορκέω** mount an attack
**πύλης** (gen sg) ἡ gate
**συλλαμβάνω** take along
**τρίμηνον** three months
**υἱός** (nom sg) ὁ son
**Χαλδαίων** (gen pl) ὁ Chaldeans